eul_wid: jqk-aa

*Νικόμαχος ὁ κωμικός* · Nicomachus the Comic Poet

# Cook's Art

## *Ἀποσπάσματα*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινή* Koine
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 [spk_β]ὑποδεικνύεις μὲν ἦθος ἀστεῖον πάνυ καὶ πρᾷον, ὀλίγωρον δὲ πεποίηκάς

book 1.2 τι. Β. πῶς; Α. ἐν τῇ τέχνῃ τίνες ἐσμὲν οὐκ ἐξήτακας. ἢ πρότερον ἐπύθου τῶν ἀκριβῶς εἰδότων[ln_5]οὕτω τ’ ἐμισθώσω με; Β. μὰ Δί’ ἐγὼ μὲν οὔ. Α. καὶ μὴν ἴσως ὅσον μαγείρου διαφέρει μάγειρος οὐκ οἶσθ’. Β. εἴσομαι δέ γ’, ἢν λέγῃς. Α. τὸ γὰρ

book 1.3 παραλαβόντ’ ὄψον ἠγορασμένον πότερον ἀποδοῦναι

book 1.4 σκευάσαντα μουσικῶς[ln_10]διακόνου ’στὶ τοῦ τυχόντος. Β. Ἡράκλεις. Α. ὁ μάγειρός ἐσθ’ ὁ τέλεος ἑτέρα διάθεσις. πολλὰς τέχνας λάβοις ἂν ἐνδόξους πάνυ, ὧν τὸν μαθεῖν βουλόμενον ὀρθῶς οὐκ ἔνι

book 1.5 ταύταις

book 1.6 προσελθεῖν εὐθύς· ἀλλ’ ἔμπροσθε δεῖ[ln_14]. . . . . . . . . . . .

book 1.1 [ln_15]ζωγραφίας ἧφθαι. ταὐτὰ καὶ μαγειρικῆς

book 1.2 πρότερον μαθεῖν δεῖ τῆς τέχνης ἑτέρας τέχνας, ὧν εἰδέναι

book 1.3 σοι κρεῖττον ἦν μοι

book 1.4 πρὶν λαλεῖν, ἀστρολογικήν, γεωμετρικήν, ἰατρικήν. τῶν ἰχθύων γὰρ τὰς δυνάμεις καὶ τὰς τέχνας[ln_20]ἐντεῦθεν εἴσει, παρακολουθήσας

book 1.5 χρόνοις, πότ’ ἄωρός ἐσθ’ ἕκαστος ἢ πόθ’ ὥριμος. τῶν ἡδονῶν γὰρ μεγάλα τὰ διαστήματα·

book 1 [spk_β]ἐνίοτε κρείττων γίνεται θύννου βόαξ. Β. ἔστω. γεωμετρικῇ δὲ καὶ σοὶ πρᾶγμα τί;

book 1.1 [ln_25][spk_α]Α. τοὐπτάνιον ἡμεῖς

book 1.2 σφαῖραν εἶναι

book 1.3 τιθέμεθα. τοῦτο διελέσθαι καὶ τόπον λαβόνθ’ ἕνα μερίσαι κατ’ εἶδος τῆς τέχνης ἐπιδέξια, ἐκεῖθεν ἐνταῦθ’ ἐστὶ μετενηνεγμένα. Β. οὗτος, πέπεισμαι, κἂν τὰ λοιπὰ μὴ λαλῇς.[ln_30]Α. περὶ τῆς ἰατρικῆς δέ· τῶν γὰρ βρωμάτων

book 1.4 πνευματικὰ καὶ δύσπεπτα καὶ τιμωρίαν ἔχοντ’ ἔνι’ ἐστὶν, οὐ τροφήν. δειπνῶν δὲ πᾶς τἀλλότρια γίνετ’ ὀξύχειρ κοὐκ ἐγκρατής. τοῖς δὴ τοιούτοις βρώμασιν τὰ φάρμακα[ln_35]εὕρητ’ ἐκεῖθεν, μεταφορὰ δ’ ἐστὶν τέχνης. ἤδη τὸ μετὰ νοῦ καὶ τὸ συμμέτρως ἐμόν[ln_36]. . . . . . . . . . . . περὶ τακτικῆς, ἕκαστα

book 1.5

ποῦ τεθήσεται· ἀριθμῷ τὸ πλῆθος εἰδέναι μαγειρικῆς. οὐδεὶς ἕτερός
book 1.6 σοι
book 1.7 πρὸς ἐμὲ καὶ γραφήσεται.
book 1.1 [ln_40][spk_β]B. μίκρ’ ἀντάκουσον ἐν μέρει κἀμοῦ. A. λέγε. B. σὺ μηδὲν ἐνόχλει μήτε
book 1.2 σαυτὸν μήτ’ ἐμέ, ἀπραγμόνως δὲ διαγενοῦ τὴν ἡμέραν.
book 2.1 ἐργῶδές ἐστιν ἐν βίῳ βεβιωκότα
book 2.2 τοὺς τῶν
book 2.3 φθονούντων πάντας ὀφθαλμοὺς λαθεῖν.
book 3.1 οὐσίδιόν μοι καταλιπόντος
book 3.2 τοῦ πατρὸς οὕτω
book 3.3 συνεστρόγγυλα κἀξεκόκκισα ἐν μησὶν ὀλίγοις ὥσπερ ᾠόν
book 3.4 τις ῥοφῶν.
book 4 ὦ χαῖρε, χρυσοκλύστα καὶ χρυσοῦς ἐμῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org